Δωτίῳ ἐν πεδίῳ κούρη Φλεγύου βασιλῆος,
χάρμα μέγ' ἀνθρώποισι, κακῶν θελκτῆρ' ὀδυνάων.
Καὶ σὺ μὲν οὕτω χαῖρε ἄναξ· λίτομαι δέ σ' ἀοιδῇ.

## 17. Εἰς Διοσκούρους

Κάστορα καὶ Πολυδεύκε' ἀείδεο Μοῦσα λίγεια,
Τυνδαρίδας οἳ Ζηνὸς 'Ολυμπίου ἐξεγένοντο·
τοὺς ὑπὸ Ταϋγέτου κορυφῆς τέκε πότνια Λήδη
λάθρῃ ὑποδμηθεῖσα κελαινεφέϊ Κρονίωνι.
Χαίρετε Τυνδαρίδαι, ταχέων ἐπιβήτορες ἵππων.

## 18. Εἰς 'Ερμῆν

'Ερμῆν ἀείδω Κυλλήνιον 'Αργειφόντην
Κυλλήνης μεδέοντα καὶ 'Αρκαδίης πολυμήλου,
ἄγγελον ἀθανάτων ἐριούνιον ὃν τέκε Μαῖα
Ἄτλαντος θυγάτηρ Διὸς ἐν φιλότητι μιγεῖσα
αἰδοίη· μακάρων δὲ θεῶν ἀλέεινεν ὅμιλον
ἄντρῳ ναιετάουσα παλισκίῳ ἔνθα Κρονίων
νύμφῃ ἐϋπλοκάμῳ μισγέσκετο νυκτὸς ἀμολγῷ,
εὖτε κατὰ γλυκὺς ὕπνος ἔχοι λευκώλενον Ἥρην·
λάνθανε δ' ἀθανάτους τε θεοὺς θνητούς τ' ἀνθρώπους.
Καὶ σὺ μὲν οὕτω χαῖρε Διὸς καὶ Μαιάδος υἱέ·
σεῦ δ' ἐγὼ ἀρξάμενος μεταβήσομαι ἄλλον ἐς ὕμνον.
χαῖρ' 'Ερμῆ χαριδῶτα, διάκτορε, δῶτορ ἐάων.

## 19. Εἰς Πᾶνα

'Αμφί μοι 'Ερμείαο φίλον γόνον ἔννεπε Μοῦσα,
αἰγιπόδην δικέρωτα φιλόκροτον ὅς τ' ἀνὰ πίση
δενδρήεντ' ἄμυδις φοιτᾷ χοροήθεσι νύμφαις
αἵ τε κατ' αἰγίλιπος πέτρης στείβουσι κάρηνα
Πᾶν' ἀνακεκλόμεναι νόμιον θεὸν ἀγλαέθειρον
αὐχμήενθ', ὃς πάντα λόφον νιφόεντα λέλογχε
καὶ κορυφὰς ὀρέων καὶ πετρήεντα κέλευθα.
φοιτᾷ δ' ἔνθα καὶ ἔνθα διὰ ῥωπήϊα πυκνά,
ἄλλοτε μὲν ῥείθροισιν ἐφελκόμενος μαλακοῖσιν,